UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

II. De instauratione Ecclesiarum.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

at certè partem aliquam & quaſi efflu- A xum percipere eorum bonorum quæ nobis à Deo fuerant procurata.

ῥοῆς δ' οὖν ὅμως καὶ μετουσίας τῶν θεόθεν ἡμῖν πρυτανευθέντων.

## Caput II.

*De inſtauratione Eccleſiarum.*

Huc refer Niceph. l.7.c.40.

ET cuncti quidem mortales tyrannicæ dominationis impotentia liberati, ſecurè agebant: maliſque quibus anteà premebantur ſoluti, Deum qui piorum propugnator exſtitiſſet, ſolum verè Deum eſſe quibus quiſq; poterat verbis confitebantur. Nobis verò præ- B cipuè qui ſpem omnem in Chriſto poſitam habemus, incredibilis quædam inerat lætitia, & divina quædam hilaritas in omnium vultu emicabat; cùm loca cuncta quæ tyrannorum impietas paulò ante ſubruerat, tanquam ex diuturna ac peſtifera labe reviviſcere videremus: templáque rurſus à ſolo in immenſam altitudinem erigi, & longè majore cultu ac ſplendore quàm illa quæ prius expugnata fuiſſent niteſcere. Quinetiam ipſi rerum Domini, crebris pro Chriſtianorum religione legibus promulgatis divini erga nos beneficii magnificentiam confirmantes, prorogare illud atq; amplificare ſtuduerunt. C Literæ quoque ad Epiſcopos ipſos nominatim perſcriptæ ſunt ab Imperatore; honores aucti & pecuniæ donatæ. Quarum quidem literarum verba ex Latina lingua in Græcum ſermonem tranſlata, in hoc libro tanquam in ſacroſancta quadam tabula opportunè inſcribere non alienum erit, ut omnium qui poſt hæc venturi ſunt perpetuæ memoriæ commendentur.

## ΚΕΦΑΛΑΙΟΝ Β'.

*Περὶ τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως.*

ΠΑσι μὲν οὖν ἀνθρώποις τὰ ἐκ τῆς τῶν τυράννων καταδυναστείας ἐλευθέροις καὶ τῶν προτέρων ἀπηλλαγμένοις κακῶν, ἄλλος ἄλλως μόνον ἀληθῆ Θεὸν τὸν τῶν εὐσεβῶν ὑπέρμαχον ὡμολόγει· μάλιστα δ' ἡμῖν τοῖς ἐπὶ τὸν Χριστὸν τοῦ Θεοῦ τὰς ἐλπίδας ἀνηρτημένοις, ἄλεκτος παρῆν εὐφροσύνη, καί τις ἔνθεος ἅπασιν ἐπήνθει χαρά. πάντα τόπον τὸν πρὸ μικροῦ ταῖς τῶν τυράννων δυσσεβείαις ἠρειπωμένον, ὥσπερ ἐκ μακρᾶς καὶ θανατηφόρου λύμης ἀναβιώσκοντα θεωμένοις, νεώς τε αὖθις ἐκ βάθρων εἰς ὕψος ἄπειρον ἐγειρομένους, καὶ πολὺ κρείττονα τὴν ἀγλαΐαν τῶν πάλαι πεπολιορκημένων ἀπολαμβάνοντας. ἀλλὰ καὶ βασιλεῖς οἱ ἀνωτάτω συνεχέσι ταῖς ὑπὲρ Χριστιανῶν νομοθεσίαις, τὰ τῆς ἐκ Θεοῦ μεγαλοδωρεᾶς ἡμῖν εἰς μακρὸν ἔτι καὶ μεῖζον ἐκράτυνον· ἐφοίτα δὴ καὶ εἰς πρόσωπον ἐπισκόποις βασιλέως γράμματα, καὶ τιμαὶ καὶ χρημάτων δόσεις· ὧν οὐκ ἀπὸ τρόπου γένοιτ' ἂν κατὰ τὸν προσήκοντα καιρὸν τοῦ λόγου, ὥσπερ ἐν ἱερᾷ στήλῃ τῇδε τῇ βίβλῳ, τὰς φωνὰς ἐκ τῆς Ῥωμαίων ἐπὶ τὴν Ἑλλάδα γλῶσσαν μεταληφθείσας ἐγχαράξαι. ὡς ἂν καὶ τοῖς μεθ' ἡμᾶς ἅπασι φέροιντο διὰ μνήμης.

## Caput III.

*De Eccleſiarum ubique dedicationibus.*

Huc refer Niceph. l.7.c.40.

D POſthæc votivum nobis ac deſideratum ſpectaculum præbebatur, dedicationum ſcilicet feſtivitas per ſingulas urbes, & oratoriorum recens ſtructorum conſecrationes: Adhæc Epiſcoporum conventus; peregrinorum ab externis & procul diſſitis regionibus concurſus; populorum mutua inter ſe caritas ac benevolentia, cùm membra corporis Chriſti in unam compagem coaleſcerent. Itaque juxta Propheticum oraculum quo ea quæ ventura erant ſub arcana quadam

Ezech. 37.

imagine prædicebantur: Os aptabatur oſſi, & junctura juncturæ: Et

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

*Περὶ τῶν κατὰ πάντα τόπον ἐγκαινίων.*

ΕΠὶ δὲ τούτοις, τὸ πᾶσιν εὐκταῖον ἡμῖν καὶ ποθούμενον συνεκροτεῖτο θέαμα, ἐγκαινίων ἑορταὶ κατὰ πόλεις, καὶ τῶν ἄρτι νεοπαγῶν προσευκτηρίων ἀφιερώσεις. ἐπισκόπων ἐπὶ ταυτὸ συνελεύσεις. τῶν πόρρωθεν ἐξ ἀλλοδαπῆς συνδρομαί. λαῶν εἰς λαοὺς φιλοφρονήσεις. τῶν Χριστοῦ σώματος μελῶν εἰς μίαν συνιόντων ἁρμονίας ἕνωσιν. συνήγετο δ' οὖν ἀκολούθως προρρήσει Προφητικῇ μυστικῶς τὸ μέλλον προσημαινούσῃ, ὀστέον πρὸς ὀστέον, καὶ ἁρμονία πρὸς ἁρμονίαν. καὶ ὅσα θεσπίζων ὁ λόγος δι'